ἔμψυχον αἰσθητικὸν, ἀναπολήσειεν· Ἐφεξῆς δὲ καὶ τούτων ἀλογήσας, τὸ σῶμα εἶναι· Καὶ ἀπὸ τοῦ σώματος τὴν ἔκτασιν ἀφελὼν, τὸ οὐσίαν, πράγματι δηλαδὴ ἀορίστως· τὴν τοῦ Σωκράτους ἔννοιαν τῷδε τῷ τρόπῳ ταῖς ἐπαλλήλοις ἀφαιρέσεσι κατὰ μικρὸν οὕτως εἰπεῖν ἀποσκελετεύσας, ἐπὶ τὴν γυμνὴν καὶ ξηρὰν ἰδέαν τοῦ ὄντος τέως ἀφίξεται.

§. π΄. Σημειωτέον τὴν ἐκ τῆς Ἀφαιρέσεως τῶν ἐννοιῶν χρῆσιν, ἡλίκη τις ἐστίν. Ἔστι γὰρ ἐπιεικῶς μεγίστη πρῶτον ἐξ αὐτῆς ἡ ὄνησις τῇ ψυχῇ, εἰς ἀκριβῆ τε καὶ διηρθρωμένην τῶν πραγμάτων περίνοιαν. Αὐτῇ γὰρ στενοῖς καθάπερ ὁρίοις κατειλημμένῃ. καὶ τὰ ἐκ πλειόνων εἰδοποιούμενα χαρακτήρων τε καὶ γνωρισμάτων, οἷα δὴ καὶ ὄψιν τὰ πολυμερῆ καὶ ποικίλα τῶν ὁρατῶν, ἐπιβολῇ μιᾷ ἐπελθεῖν κατὰ τὸ ἀκριβὲς ἀδυνατούσῃ, θαυμαστὸν ὅσον συντελὲς ἐστὶ τὸ ἔργον τόδε τῆς ἀφαιρέσεως. Ἐνδίδωσι γὰρ τῷ ἐπιστατικῷ τοῦ Νοῦ, ἐπ᾽ ἀδείας ἑνὶ ἑκάστῳ τῶν πολλῶν χωρὶς προσενδιατρίβειν, καὶ, καθ᾽ οὓς τὸ ὂν ληπτὸν τυγχάνει, τοὺς λόγους ἅπαντας ἀνασκοπεῖν.

§. πα΄. Β΄. δὲ κἀν ταῖς κατ᾽ Ἐπιστήμην θεωρίαις, οὐ μικρὰ συμβάλλεται ἡ τῶν ἐννοιῶν ἀπ᾽ ἀλλήλων ἀφαίρεσις. Ἐπειδὴ γὰρ ἕκαστα τῶν ἐν τοῖς οὖσι παθῶν, παντοίων ἐστὶ λόγων τε, καὶ τρόπων, καὶ σχέσεων ἐπιδεκτικὰ, σχολῇ γ᾽ ἄν τις τὰς διαφορὰς τὰς τούτων λογικῶς ἀποδείξειεν, εἰ μὴ πρότερον ἀπὸ τῶν διαφερόντων διακρίνας, στήσειέ τε χωρὶς, καὶ καθ᾽ ἑαυτὰ διασκέψαιτο· οἷον ἄλλα μὲν εὐθείας πάθη, ἄλλα δ᾽ ἐπιφανείας, ἄλλα δὲ σώματος. Καὶ τὰ τῶν ἐπιφανειῶν αὖθις τοῖς σχήμασι συμποικίλλεται. Ἄλλα γὰρ τριγώνου, ἄλλα δὲ τετραγώνου, κύκλου δὲ ἄλλα. Κἀπὶ τοῦ τριγώνου δὲ, τὰ μὲν τῷ ὀρθογωνίῳ προσιδιάζει, τὰ δὲ τοῖς λοιποῖς εἴδεσι. Καὶ ἐκ τῶν πλευρῶν ὡσαύτως. Καὶ ἀνάγκη ἄρα ἀπ᾽ ἄλλων ἐπ᾽ ἄλλα τὸν νοῦν ἐπιστρέφειν, τὴν περὶ ἑκάστου Ἐπιστήμην ἰδίᾳ ληψόμενον, καὶ τάγε φύσει συνημμένα, χωρὶς ἀναθεωρεῖν· ὃ μόνον ἐστὶ λαβεῖν ἐκ τῆς ἀφαιρέσεως.

§. πβ΄. Γ΄. Καὶ τὰς κοινοτάτας δὲ τῶν ἐννοιῶν οὐκ ἄλλως, ἢ δι᾽ ἀφαιρέσεως ἀναπλάττειν πεφύκαμεν, καὶ ἀνατυποῦσθαι· καὶ ταύτης ἄνευ, κατὰ τὰ κτήνη, οὐκ ἂν ἔχοιμεν φαντάζεσθαι τῶν καθ᾽ ἕκαστα πλέον οὐδὲν, οὐδ᾽ ἐπέκεινα. Δι᾽ αὐτῆς δὲ μάλιστα τῶν ἀλόγων πλεονεκτοῦντες, τοὺς καθόλου τε καὶ ἀνωτάτω



λόγους ἀνευρίσκομεν τῶν ὄντων, οἷς τε διαφέρει καὶ τισιν ἕκαστα κοινωνεῖ ἀναδιδασκόμεθα· τά τε οὕτω κοινωνοῦντα, ἔσθ᾽ ἂν δεήσοι, εἰς ἓν συμπεριλαμβάνοντες, κρίνομέν τε περὶ τῶν πολλῶν, καὶ διανοούμεθα τὰ ἐπιβάλλοντα, ἡνωμένως τε καὶ ἀμερίστως, οἷον περὶ τοῦ ἀνθρώπου, περὶ τοῦ κύκλου, μηδὲν δεόμενοι, τῆς καὶ ἄλλως ἥκιστα δυνατῶς ἐχούσης, τῶν κατὰ μέρος ἁπάντων ἐξαριθμήσεως· ὃ μέγιστόν ἐστι δήπου καὶ τοῦτο εἰς θήραν ἐπιστήμης βοήθημα. Ἀλλ᾽ ἐν τούτοις μὲν ἡ τῆς Ἀφαιρέσεως χρῆσις.

§. πγ΄. Θεωρητέον δὲ καὶ τὴν κατάχρησιν. Ἡ δὲ συντόμως, ἐν τῷδε κεῖται· Εἴτις τὸ ἤδη ἀφαιρεθὲν, οἷον τὸ τοῦ ἀνθρώπου εἶδος, τὸ τοῦ κύκλου σχῆμα, τὸ τῆς γραμμῆς μῆκος, τὸ μὲν ἄνευ τοῦ Σωκράτους, ἢ τοῦ Πλάτωνος, κτλ. τὸ δὲ ἄνευ τοῦ κυκλοειδῶς περατουμένου σώματος, τὸ δὲ ἄνευ τοῦ πλάτους· Εἴτε καὶ τὸ μετὰ τὴν ἀφαίρεσιν ὑπολείπεσθαι δοκοῦν, οἷον τὸ πρῶτον ἐπὶ ἑκάστου ὑποκεῖσθαι νοούμενον, τὴν ὑπόστασιν, τὴν ἀνείδεον ὕλην, καὶ οἱασδήποτε μορφῆς ἀπογυμνωθεῖσαν, οὕτως ἔχειν ἀτεχνῶς ἐν τοῖς οὖσιν ἡγοῖτο, ὥσπερ καὶ ταῖς ἐπινοίαις ταῦτα αὐτῷ παρίσταται. Ἐοίκασιν οὖν ὀρθῶς ἐπισημειώσαντες, οἱ πρώτην εἶναι δεῖν ἐνέργειαν (§. γ΄.) τοῦ γνωστικοῦ τὴν κατ᾽ ἀφαίρεσιν ὑποτιθέμενοι· ἄνευ δηλαδὴ τῆς κατὰ τὴν κρίσιν διαιρέσεως· τουτέστιν ἄνευ καταφάσεώς τε καὶ ἀποφάσεως τὸ νοητὸν προσλαμβανούσας, εἰ μὴ ψευδοῦς μέλλοι, καὶ ἀλόγου τερατοπλασίας εὐθύνεσθαι. Ἐξ οὗ καὶ τὸ περιφερόμενον ἐκεῖνο, τῶν ἀφαιρούντων ὅτι πορρωτάτω τὸ ψεῦδος ἀπεληλάσθαι, ὡς μηδὲν δηλονότι ἀποφαινομένων· (§. ξζ΄.) τοῖς δὲ διαιροῦσι πολλάκις ὁμαρτεῖν παρὰ πόδας, οὐδὲν ἧττον ἀληθῶς ἢ χρησίμως λελέχθαι δοκεῖ (ὅρα Προδιατ. Β΄. §. ιη΄.).